1.1.

3 *Αὐτοκράτορες Θεοδόσιος καὶ Οὐαλεντινιανὸς ΑΑ.*
1 *Ὁρμίσδᾳ ἐπάρχῳ πραιτωρίων.* Θεσπίζομεν πάντα,
ὅσα Πορφύριος ὑπὸ τῆς ἑαυτοῦ μανίας ἐλαυνόμενος
ἢ ἕτερός τις κατὰ τῆς εὐσεβοῦς τῶν Χριστιανῶν
θρησκείας συνέγραψε, παρ' οἱῳδήποτε εὑρισκόμενα
πυρὶ παραδίδοσθαι. πάντα γὰρ τὰ κινοῦντα τὸν
θεὸν εἰς ὀργὴν συγγράμματα καὶ τὰς ψυχὰς ἀδικοῦντα
2 οὐδὲ εἰς ἀκοὰς ἀνθρώπων ἐλθεῖν βουλόμεθα. Ἔτι
θεσπίζομεν τοὺς ζηλοῦντας τὴν ἀσεβῆ Νεστορίου
πίστιν ἢ τῇ ἀθεμίτῳ αὐτοῦ διδασκαλίᾳ ἀκολουθοῦν-
τας, εἰ μὲν ἐπίσκοποι εἶεν ἢ κληρικοί, τῶν ἁγίων
ἐξουσίαν ἐχόντων τῶν βουλομένων ὀρθοδόξων τῶν
ἑπομένων τῇ εὐσεβεῖ ἡμῶν νομοθεσίᾳ δίχα φόβου
3 καὶ βλάβης δημοσιεύειν αὐτοὺς καὶ ἐλέγχειν. Ἐπειδὴ
δὲ ἦλθεν εἰς τὰς εὐσεβεῖς ἡμῶν ἀκοάς, ὥς τινες δι-
δασκαλίας τινὰς συνέγραψαν καὶ ἐξέθεντο ἀμφιβόλους
καὶ οὐκ ἀκριβῶς συμφωνούσας τῇ ἐκτεθείσῃ ὀρθοδόξῳ
πίστει παρὰ τῆς ἁγίας συνόδου τῶν συνελθόντων ἐν Νι-
καίᾳ καὶ ἐν Ἐφέσῳ ἁγίων πατέρων καὶ Κυρίλλου τοῦ τῆς
εὐσεβοῦς μνήμης τοῦ γεγονότος τῆς μεγάλης Ἀλεξαν-
δρέων πόλεως ἐπισκόπου, κελεύομεν τὰ μὲν γεγονότα
τοιαῦτα συγγράμματα ἢ πρὸ τούτου ἢ καὶ νῦν ἐμπί-
πρασθαι καὶ διαφερόντως τὰ Νεστορίου , καὶ τελείῳ
ἀφανισμῷ παραδίδοσθαι , ὥστε μηδὲ εἰς ἀνάγνωσίν
τινος ἐλθεῖν· τῶν τὰ τοιαῦτα συγγράμματα ἤτοι
βιβλία ἔχειν καὶ ἀναγινώσκειν ἀνεχομένων τὴν ἐσχά-
την τιμωρίαν ὑφορωμένων. τοῦ δὲ λοιποῦ μηδενὶ
ἐξεῖναι παρὰ τὴν ἐκτεθεῖσαν πίστιν, καθάπερ εἰρή-
καμεν, τὴν ἐν Νικαίᾳ καὶ ἐν Ἐφέσῳ λέγειν τι ἢ
διδάσκειν. *D. XIIII k. Mart. Constantinopoli Zenone
et Postumiano conss.* [*a.* 448]

id est:
*Impp. Theodosius et Valentinianus AA. Hormisdae pp.*

1 ¶ Sancimus, ut quaecumque Porphyrius insania sua compulsus
sive alius quilibet contra religiosum Christianorum cultum conscripserit,
apud quemcumque inventa fuerint, igni tradantur, omnia enim scripta,
quae deum ad iracundiam provocant animasque offendunt, ne ad auditum
quidem hominum venire volumus.
2 ¶ Praeterea sancimus, ut qui impiam Nestorii fidem adfectant
vel nefariam eius doctrinam sequuntur, si episcopi vel clerici
sint sanctis ecclesiis eiciantur, sin laici; anathematizentur:
data licentia orthodoxis, qui volunt et piam legislationem nostram
sequuntur, absque metu et damno eos denuntiandi et accusandi.
3 ¶ Cum autem ad pias aures nostras pervenerit a quibusdam conscriptas
et editas esse doctrinas ambiguas neque accurate congruentes
cum orthodoxa fide proposita a sancto concilio patrum sanctorum,
qui Nicaeae et Ephesi convenerunt, et a Cyrillo piae memoriae,
Alexandrinae magnae civitatis quondam episcopo, iubemus tales libros

sive antea sive hoc tempore scriptos, imprimis Nestorii, comburi et perfecto exitio tradi, ut ne in cognitionem quidem cuiusquam veniant: his, qui tales scripturas aut libros habere et legere continuaverint, ultimum supplicium subituris, ceterum nulli licere praeter fidem, ut diximus, Nicaeae atque Ephesi expositam profiteri quicquam vel docere.